Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν, κύψει
καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων.
Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ ἐπιλέλησται ὁ θεός,
ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέ-
πειν εἰς τέλος.
Ἀνάστηθι κύριε ὁ θεός μου ὑψωθήτω ἡ χείρ
σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.
Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν θεόν;
εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει.
Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς,
τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου.
Σοὶ ἐγκαταλέλειπται ὁ πτωχός, ὀρφανῷ
σὺ ἦσθα βοηθός.
Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ
πονηροῦ, ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ
οὐ μὴ εὑρεθῇ.
Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν
αἰῶνα τοῦ αἰῶνος, ἀπολεῖσθε ἔθνη ἐκ τῆς
γῆς αὐτοῦ.
Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας κύ-
ριος, τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσ-
έσχε τὸ οὖς σου.